www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ
# ΓΕΡΜΑΝΟΥ
# ΤΟΥ ΕΝ ΑΛΑΣΚΑ

( ἑορταζομένου τῇ 14η Δεκεμβρίου)

Ποιηθεῖσα ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 1987 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





## ΤΗι ΙΔ' ΔΕΚΕΜΒΡΙΟΥ
## ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΓΕΡΜΑΝΟΥ ΤΟΥ ΕΝ ΑΛΑΣΚΑ

* * *

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩι

*Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια. Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.*

Τῆς Ῥωσίας τὸ βλάστημα, Βαλαὰμ καλλιέρημα, τῆς Ἀλάσκας ἔνδοξον ἰσαπόστολον, τὸν Γερμανὸν εὐφημήσωμεν, ἀσκήσει καθάραντα, τῆς ψυχῆς τὸ ὀπτικόν, δι᾽ οὗ πλῆθος ἐδὲξατο, τῶν ἐλλάμψεων, καὶ φωτίσας ψυχὰς τετυφλωμένας, εἰς νυμφῶνα βασιλείας, ταύτας συνέσει εἰσήγαγεν.

Ἐξ ἐμπόρων φὺς Ὅσιε, τὰ φθαρτὰ μὲν παρέδραμες, μαργαρίτην τίμιον ἐφευράμενος, τῆς σῆς ζωῆς ὡς ἐμπόρευμα, δι᾽ οὗ τεταμίευκας, ἀρετὰς θεοποιούς, γεγονὼς στηλογράφημα, Παύλου τέλειον, σκυβαλίζων καθ᾽ ὥραν φιλοτίμως, τὰ συμβαίνοντα σινίῳ, τῆς βασιλείας τρισόλβιε.

Πυρωθεὶς θείῳ Πνεύματι, τὴν τῆς πλάνης ψυχρότητα, ὁλικῶς ἀνῄρεσας , ζήλῳ πνέοντι, τῶν Ἀποστόλων μιμούμενος, πορείας θεσπέσιε, δι᾽ ἀγάπην τοῦ Χριστοῦ, καὶ πλησίον ὃς πέφυκε, κλῖμαξ ἄγουσα, πρὸς τὸν Πλάστην εὐθέως χορηγοῦντα, δαψιλῶς φιλαδελφίας, ὦ Γερμανὲ τὴν ἀντίδοσιν.

Περιτράνως σε ὕψωσε, Γερμανὲ ὁ καλέσας σε, οὕτω γὰρ προέφησε τοὺς δοξάζοντας, τὴν ὑπερτέλειον δόξαν μου, δοξάσω χαρίσμασιν ὑπὲρ φύσιν καὶ εἰς πρίν, ἀναγάγω κατάστασιν, ὅτε



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἅπασα, κτίσις λόγῳ ᾽Αδάμ καθυπετάγη, χαρακτῆράς μου τοὺς θείους, ἀπαρατρώτους φυλάττοντι.

Δόξα. Ἦχος α΄.

Γέρας ἔνδοξον, τῷ τιμίῳ σου γήρατι, ὡς στέφανος θεόπλοκος, ἀνετέθη Πάτερ Γερμανέ, ὡς ἀσκητῇ τε καὶ ἀποστόλῳ, καὶ ἑκουσίῳ μάρτυρι. Ὅθεν σου τὴν μνήμην γεραίροντες, τὰ ἡγιασμένα λείψανά σου κατασπαζόμεθα, αἰτούμενοι τυχεῖν ταῖς πρεσβείαις σου, ἱλασμοῦ παρὰ Θεοῦ καὶ τοῦ ἐλέους αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον. Τῇ πρεσβείᾳ Κύριε.....

Φῶς ἱλαρόν. Προκείμενον. Καταξίωσον.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

*Στιχηρὰ προσόμοια.*
*Ἦχος β΄. Οἶκος τοῦ ᾽Εφραθᾶ*

Χαίρει ἡ σὴ πατρίς, μειζότερον δὲ χαίρει, ὦ Γερμανὲ θεόφρον, ἐν τῇ σεπτῇ σου μνήμῃ, ἡ Πρωτοτόκων σύναξις.

*Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ....*

Θαῦμα ἐκστατικόν, ὁ βίος σου θεόφρον, διὸ καὶ θαυμασίοις, παρὰ Χριστοῦ τιμῶνται, τὰ ἱερά σου λείψανα.

*Στίχ. Καί ἔστησεν ἐπὶ πέτραν τούς πόδας μου...*

Πάγοι καὶ νιφετοί, συστήματα κρυστάλλων, αἰνοῦσι τὸν Δεσπότην, ἐν τῇ σεπτῇ σου μνήμῃ, ᾽Αλάσκας ἐγκαλλώπισμα.

*Δόξα. Ὅμοιον.*

Δέχου σεπτὴ Τριάς, τὸν ὕμνον πολυγλώττως, καὶ γὰρ ὁ Γερμανός σοι, προσήνεγκεν ἀρτίως, λαόν σε μεγαλύνοντα.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Καί νῦν. Θεοτοκίον. Ὅμοιον*

Οὐκ εἰς κενὸν ῾Αγνή, ὁ τόκος σου κατέστη, ἰδοὺ γὰρ ὑπετάγη, Αὐτῷ τελείως ἔθνος, ταῖς Γερμανοῦ ἀθλήσεσιν.

*Νῦν ἀπολύεις. Τρισάγιον...Ὅτι σοῦ ἐστιν.*

*᾿Απολυτίκιον. Ἦχος γ'. Θείας πίστεως.*

Θείῳ Πνεύματι, πεπληρωμένος, θείοις ἴχνεσι, τῶν ᾿Αποστόλων, ἠκολούθησας πιστῶς Πάτερ Ὅσιε, καὶ τῷ φωτὶ τοῦ Χριστοῦ κατεφώτισας, τῶν ᾿Αλεούτων τὰ πλήθη μακάριε, ὅθεν εἴληφας θαυμάτων τὸ μέγα χάρισμα, δι᾽ ὧν ὦ Γερμανέ, πιστῶς τιμῶμέν σε.

Ἕτερον. Ἦχος πλ. α'. Τὸν συνάναρχον.

Γερμανὸν τῆς ᾿Αλάσκας φωστῆρα ἔκπαγλον, ἐν ᾠδαῖς εὐφημοῦντες Χριστὸν δοξάσωμεν, ὅτι ἠξίωσεν ἡμᾶς πνευματικῆς δωρεᾶς, κατέχειν λείψανα αὐτοῦ, ὡς πλοῦτον θεῖον μυστικόν, καὶ πρὸς Θεόν ἔχειν πρέσβυν, τοῦ φωτισμοῦ ἐμπλησθῆναι, καὶ τῆς χαρᾶς τῆς ἄνω στάσεως.

Θεοτοκίον. Χαῖρε πύλη Κυρίου......

᾿Απόλυσις

## ΕΝ ΤΩ ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

*Ἱστῶμεν στίχ. στ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια*
*Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Γέρας προσάγομεν πόθῳ, σοὶ τῷ σεπτῷ Γερμανῷ, ὡς ἀποστόλων ἴσῳ, καὶ τοῖς τρόποις ὁμοίῳ, φωνῆς γὰρ τοῦ Σωτῆρος ἀκηκοώς, πάντα Πάτερ κατέλιπες, προκρίνας μόνον ὀπίσω ἀκολουθεῖν, ἐν καρδίας ἀφελότητι.

Ἐξ ἁπαλῶν σου ὀνύχων, Θεὸν ἠγάπησας, γονέων σου προσέχων, τοῖς διδάγμασι Πάτερ, διὸ εἰς ἡλικίαν προβιβασθείς, τὸν τῶν πάντων ἐπέγνωκας, Πατέρα Οὗπερ τὸ θέλημα ἐννοῶν, μετεποίεις εἰς ἐνέργειαν.

Χαροποιῶς ὑπεισῆλθες, ὁδὸν ἀσκήσεως, σφριγῶσαν σάρκα πῶλον, ὡσπερεὶ ὑποτάσσων, καὶ Σέργιον τὸν μέγαν ἔχων ἀεί, ὁδηγὸν καὶ προστάτην σου, τούτου τὸν βίον τὸν θεῖον ἐπιμελῶς, ἐμιμήθης Πάτερ ὅσιε.

*Καὶ ἕτερα. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Ὅτε ἀσθενείᾳ ὁ ἐχθρός, Πάτερ σου προσέβαλε σῶμα, ἡ Παναμώμητος, ἦλθεν εἰς βοήθειαν καὶ ἁψαμένη σου, τῆς χειρὸς αὖθις ὤρθωσε, τῆς κλίνης δεικνῦσα, ὅτι ἐπελάβετο ὡς κηδεμὼν καὶ τροφός, ὅθεν τὴν Αὐτῆς προστασίαν, ἔχων σου ἀήττητον σκέπην, ὕμνεις Γερμανὲ ὅση σοι δύναμις.

Ὅτε Ἐκκλησίαν ὁ δριμύς, εὗρε διωγμὸς τῶν κρατούντων, σὺ ἐμπεφάνισαι, τῆς εἰρήνης οἴκημα, ἐκ θείου Πνεύματος, δομηθὲν ἵνα πλείοσιν, παράσχῃς τὴν αὖραν, τὴν ψυχάς δροσίζουσαν ὑπερφυῶς Γερμανέ, ὅθεν ὡς εἰρήνης ἐργάτης, δέχῃ τοῦ πατρὸς ταύτης Πάτερ, τὸν μακαρισμόν τὸν ἀψευδέστατον.

Ὅτε Ναζαρίου τοῦ σεπτοῦ, γέγονας ὑπήκοος Πάτερ, πᾶσαν ὑπέταξας, τῆς ψυχῆς σου κίνησιν, καὶ λογισμοὺς καὶ κρυπτά, τῆς καρδίας ἐξέφηνας, ὅθεν ἀπολαύεις, τούτου τῆς θεόφρονος καὶ ζωηρᾶς διδαχῆς, φύων ὥσπερ γῆ πολυκάρπως, τὰς τῶν ἀρετῶν παγκαρπίας, δι᾽ ὧν τρέφεις πλήθη τῶν τιμώντων σε.

Δόξα. Ἦχος ὁ αὐτός.

Συμπολῖται τῶν Ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ, Πάτερ Γερμανέ, κατὰ χάριν γεγονότες εὐφημοῦμεν σε· τῇ γὰρ θαυμαστῇ πολιτείᾳ σου, πάντας κινεῖς εἰς αἴνεσιν καὶ ἔπαινον. Τῇ ἀσκήσει στοιχειωθείς, τὴν τῶν Ἀποστόλων ὁδὸν θεοφιλῶς ἤνυσας, καὶ τῷ Κυρίῳ παραστησάμενος ψυχὰς ὡς λογικοὺς ἰχθύας, νῦν τῇ τῶν λειψάνων


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

σου θαυματουργικῇ ἐνεργείᾳ, ἐκ ψυχῆς προσπίπτουσιν, ἀντίδος τῶν αἰτημάτων τὴν ἐκπλήρωσιν. Τῇ φιλανθρωπίᾳ δὲ συμβιοτεύσας, ταύτην ἐμφανέστερον ἐπίδειξον, ἵνα πίστει δοξάζωμεν, τὸν δοξάσαντά σε Κύριον.

Καί νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Ἰδοὺ καιρὸς ἤγγικεν τῆς σωτηρίας ἡμῶν. Εὐτρεπίζου σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν. Ἀκούσατε ὄρη καὶ βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρχεται Χριστός, ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας*
*καὶ Ἀναγνώσματα ὁσιακά.*

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν · ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς · καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν · ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις · καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη · καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ · βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς · ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν ἰδιόμελα

Ἦχος α'.

Ἀδολεσχῶν ἠδολέσχεις Πάτερ Γερμανέ, ἐν τῇ δασώδει ἐρήμῳ τοῦ Βαλαάμ, κατενώπιόν σου προορώμενος διὰ παντὸς τὸν Κύριον, καὶ διά τῆς ἐργώδους σιωπῆς σου, τῶν μυστηρίων τοῦ Θεοῦ τά βάθη

ἐξηρεύνησας. Ἔνθεν γενόμενος πλήρης διακρίσεως, ἀπελίκμεις ὡς ἄχυρον τὰς προσβολὰς τοῦ ἀλλοτρίου. Διὸ αἰτοῦμέν σε, πρέσβευε ὑπέρ ἡμῶν, Πάτερ τιμιώτατε.

Ἦχος β'.

Ἐκ τῶν κτισμάτων ἐθεώρεις τὸν Κτίσαντα, καὶ ὡς κλίμακι χρησάμενος τοὺς λόγους τῶν ὄντων, τὸν Δημιουργόν καὶ καλλοποιόν Λόγον εὐεπιβάτως διέβλεπες, Ὃν ἐκ βάθους καρδίας ἐδοξολόγεις. Καί καθ᾽ ἡμέραν αὐξανόμενος εἰς τὴν ἀγάπην Αὐτοῦ, προετίμας παραῤῥιπτεῖσθαι ἐν τοῖς ποσὶν Αὐτοῦ, πάτερ Γερμανέ. Ὃν ἐκδυσώπει ἐκτενῶς, σωθῆναι καὶ ἡμᾶς τούς ὑμνοῦντάς σε.

Ἦχος γ'.

Τοῖς ἀσκητικοῖς σου ἀγῶσι καθαρθεὶς παμμακάριστε, τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην ὡς καρπὸν ἀπείληφας· ὅθεν εἰς σεαυτὸν προσεφαρμόζων τό, Πορευθέντες τοῖς ἔθνεσι κηρύξατε, μακρὰν ὁδὸν ἀνείληφας, τῇ φιλανθρωπίᾳ νυττόμενος. Καὶ καρποφορήσας πολλῶν ψυχῶν φωτισμὸν τὸν σωτήριον, νῦν ἀπολαύεις τοῦ αἰωνίου φωτὸς τοῦ Προσώπου τοῦ Χριστοῦ, Ὃν καθικέτευε δοθῆναι ἡμῖν, τῆς φιλανθρωπίας τινὰ ἀπόμοιραν.

Ἦχος δ'.

Ἁλὶ ἁλίζεται πᾶσα θυσία τῷ Θεῷ, ἐν τῷ Νόμῳ γέγραπται. Διὸ καὶ σύ, πάτερ Γερμανέ, τῷ πνευματικῷ ἅλατι τὰς σηπεδόνας τῶν παθῶν ἐθεράπευσας, καὶ τὴν ἐκ τῶν νοητῶν σκωλήκων σῆψιν, ἐκ τῶν ψυχῶν ἀπεσόβησας, ἀναδείξας οὕτω ζωοποιὸν τὸ ἅλας τοῦ Χριστοῦ, τοῖς ἁλιεῦσιν Ἀλεούτοις, ὧν πνευματικός εὐεργέτης ἀναδειχθεὶς καὶ φιλοθεΐας ὑπόδειγμα, καὶ ἡμῶν φάνηθι πρεσβευτὴς πρός Κύριον.

Δόξα. Ἦχος πλ. α'

Ὡς ὡραῖοι οἱ πόδες σου πάτερ Γερμανέ, οἱ εὐαγγελισάμενοι τοῖς ἐν Ἀλάσκᾳ ἐζοφωμένοις, τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Καὶ ὡς ἡδεία ἡ γλῶσσα σου, ἡ ἀείποτε μεγαλύνουσα τὴν δόξαν τοῦ Κυρίου, καὶ ῥητορεύουσα ἐν χάριτι τὴν τοῦ Χριστοῦ οἰκονομίαν. Ἀλλὰ καὶ ἡ δόξα σου ὡς καλλίστηπ ὅτι ἴσος τοῖς ἀρχαίοις Ἀποστόλοις ἀναδειχθείς, ἴσην ἀπείληφας καὶ τὴν κληρονομίαν. Ὅθεν πρέσβευε



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

δεόμεθα, συντηρεῖσθαι ἐν τῇ χάριτι τοῦ Πνεύματος, τοὺς τὴν μνήμην σου σεπτῶς γεραίροντας.

Καὶ νῦν. Μακαρίζομέν σε...ἤ τι τῶν προεορτίων.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Στιχηρὰ προσόμοια.

Ἦχος πλ. δʹ. Ὢ! τοῦ παραδόξου θαύματος.

Πάτερ Γερμανὲ μακάριε, τὴν τοῦ Σωτῆρος Χριστοῦ, μελετῶν ἐνανθρώπησιν, καὶ τὸ μέγα ἔλεος, πρὸς ἡμᾶς ὃ ἐπέδειξεν, πηγὰς δακρύων δῶρον εὐχάριστον, Αὐτῷ προσῆγες, ψυχῆς ἐκ βάθους σου. Ὅθεν μιμούμενος, τούτου τὸ φιλάνθρωπον ὁδὸν μακράν, ᾿Αποστόλων ἤνυσας, ᾿Αλάσκας καύχημα.

Στίχ. *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.*

Πάτερ Γερμανὲ τρισόλβιε, καθάπερ ἅρμα Χριστοῦ, τῇ ἀγάπῃ πτερούμενος, τούτου Φῶς τὸ ἄδυτον, καὶ σωτήριον ἤνεγκας, εἰς χώραν ζόφῳ κεκρατημένην δεινῶς, καὶ τοῖς εἰδώλοις ἀλόγως θύουσαν, ἔνθεν τοῖς ἄθλοις σου, πᾶσαν ἀπεδίωξας πλάνην μακράν, καὶ λουτρῷ βαπτίσματος, πλήθη ἐφώτισας.

Στίχ. *Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ.*

Πάτερ Γερμανὲ θεόσοφε, ὡς φυτοκόμος σοφός, χέρσον γῆν κατενέωσας, καὶ ζωῆς τοῖς σπέρμασι, ταύτην γόνιμον ἔδειξας, καθ᾽ ὥραν θνήσκων, καὶ ἀνιστάμενος, κατὰ τὸν Παῦλον, ἐθνῶν τὸν Κήρυκα, οὗπερ ἐκμίμημα, μάκαρ ὄντως πέφηνας πάντας ποθῶν, τεύξασθαι θεώσεως, δι᾽ ἣν ἐπλάσθημεν.

Δόξα. Ἦχος πλ. βʹ.

Τὴν ἀποστολικὴν ἐκ βρέφους προελόμενος ζωήν, ἥτις σαφῶς ἐκφαίνεται ἐν τῇ μοναδικῇ πολιτείᾳ, ταύτῃ ἠκολούθησας πάτερ Γερμανέ, μὴ ἔχων ὅλως πήραν, ῥάβδον ἢ βαλάντιον, πεινῶν καὶ θλιβόμενος, ὑστερούμενος καὶ κακουχούμενος, τῇ θεωρίᾳ μόνον χορταζόμενος, τοῦ γλυκυτάτου Κυρίου. Ἔργον σου τίμιον θέμενος, ἵνα τινὰς ψυχὰς σώσῃς ἐν Χριστῷ δι᾽ ἃς καὶ ἀπέθανεν. Ὅθεν δικαίως



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

σε ἐδόξασεν, ὡς ὑπὸ σοῦ δοξασθείς, Ὢ καὶ νῦν πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Προεόρτιον, ἦχος ὁ αὐτός.

Σπήλαιον εὐτρεπίζου, ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν. Καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε. Ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός, ὅνπερ καὶ κύψασα δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης, ὁ Λυτρωτής μου καὶ Θεός;

*Νῦν ἀπολύεις κ.λπ. Ἀπολυτίκιον, ὡς ἐν τῷ Μικρῷ Ἑσπερινῷ.*

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α' στιχολογίαν. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὡς σέλας νοητόν, καταυγάσας Ἀλάσκαν, πρὸς Φῶς τὸ ἀληθές, καθωδήγησας πλήθη, ὡς ἔμπνουν Εὐαγγέλιον, Γερμανὲ θεοδόξαστε, καὶ κατηύφρανας, τῶν Ἀποστόλων χορείαν, ὅτι τέλειον, ἴχνεσι τούτων βαδίσας, καὶ δόξαν τούτων εἴληφας.

Δόξα, τὸ αὐτό. Καί νῦν, προεόρτιον, ὅμοιον.

Ἑτοίμαζε Χριστῷ, Βηθλεὲμ τὰ πρὸς γένναν, τὸ Σπήλαιον φαιδρῶς, χορηγοῦσα ὡς θρόνον, ἰδοὺ γὰρ ἡ Ἄμωμος, νῦν τεκεῖν κατεπείγεται, καὶ συγκάλεσον τῶν ἀσωμάτων τὰς τάξεις, ἐπιλόχιον, ὕμνον Αὐτῷ μελῳδῆσαι, τῷ Πλάστῃ τῆς κτίσεως.

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Ὅπερ ἀδύνατον, τοῖς ἄλλοις φαίνεται, σὺ Πάτερ ἤσκησας, διὰ τῆς Χάριτος, ψῦχος νηστείαν προσευχήν, καὶ πάννυχον ἀγρυπνίαν. Ὅθεν σε ὁ Κύριος, ἐθαυμάστωσεν Ὅσιε, καὶ φωστῆρα ἔδειξεν,

᾿Αλεούτων ὑπέρλαμπρον, πρὸς γνῶσιν ἀληθῆ ὁδηγοῦντα, τούτους διὰ τῆς πολιτείας σου.

Δόξα, τὸ αὐτὸ. Καὶ νῦν, προεόρτιον, ὅμοιον.

Χαρᾶς πεπλήρωνται, πάντα τὰ πέρατα, ἡ Θεοτόκος γάρ, γεννᾶν ἐπείγεται, τὸν Βασιλέα τοῦ παντὸς, ὢπ θαύματος ἀνεκφράστου· ἄρχεται ὁ ἄναρχος, καὶ σαρκοῦται ὁ ἄσαρκος, σπήλαιον εἰσδέχεται, τὸν συνέχοντα ἅπαντα, ἡ Βηθλεὲμ ἀγάλου καὶ χόρευε, ἡ κτίσις ἡμέραν προεόρτιον.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

᾿Εντρυφῶν τῷ λειμῶνι θείων Γραφῶν, καὶ τὸν πλοῦτον θαυμάζων τῆς πρός ἡμᾶς, πολλῆς συγκαταβάσεως, τοῦ Θεοῦ ῾Οσιώτατε, τὴν ἀγάπην ἔθου, ὡς βάσιν σου ἄσειστον, πρὸς Θεὸν καὶ πέλας γνησίως ἐργαζόμενος. Ὅθεν τὰς αἰσθήσεις, τῇ ἀσκήσει καθάρας, φωτὸς ἐμπιπλάμενος, φῶς μεθέξει καθέστηκας, διὸ πίστει τιμῶντές σε, δοξάζομεν Χριστὸν τὸν πολλοῖς, σὲ σημείοις δοξάσαντα Ἅγιε, καὶ προσκυνοῦμεν λειψάνων, τὴν θείαν σου λάρνακα.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν, προεόρτιον, ὅμοιον.

Οἶκος Ἄρτου φανεῖσα ἀληθινοῦ, Παναγία Παρθένε σὲ δυσωπῶ·
ἀφθόνως χορήγει μοι, τοῦτον θείαις πρεσβείαις σου, καὶ πεινῶντα
θρέψον, ἡ γάλακτι θρέψασα, τὸν τροφέα πάσης, Κυρία τῆς κτίσεως·
ἅμα δὲ σπαργάνοις, μητρικῆς σου ἀγάπης, γυμνόν με σπαργάνωσον,
καὶ ὡς βρέφος τιθήνησον, ἵνα χαίρων δοξάζω σε, αἰτία σωτηρίας
βροτῶν, καὶ ἐν ὥρᾳ δευτέρας ἐλεύσεως, δεξιοῖς με προβάτοις, ῾Αγνὴ
κἀμὲ σύνταξον.

Οἱ ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· ᾿Εκ νεότητός μου...
Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν….
Στίχ. *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ….*
Πᾶσα πνοή. Εὐαγγέλιον, κατὰ Ματθαῖον, τῆς λ' ᾿Ιουνίου.
῾Ο Ν'. Ἐλέησόν με ὁ Θεός…
Δόξα. Τοῦ ᾿Ισαποστόλου πρεσβείαις ᾿Ελεῆμον...
Καὶ νῦν. Ταῖς τῆς Θεοτòκου....

Εἶτα τὸ ἰδιόμελον. Ἦχος πλ. β'



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τῆς ἀποστολικῆς ἀξίας, τὰ πειστήρια πάντα φέρων, πάτερ Γερμανέ, γέγονας φῶς τοῖς ἐν σκότει, καὶ ὁδηγὸς πεπλανημένων. Ὅθεν σου τὴν μνήμην ἑορτάζοντες, δοξάζομεν τὸν καλέσαντά σε Κύριον.

*Εἶτα οἱ Κανόνες. Ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς·*
**"Τόδε γέρας δέχου, Γερμανὲ τῆς ᾿Αλάσκας. ᾿Α(θανάσιος)."**

Ωιδὴ α'. Ἦχος α'. Χριστὸς γεννᾶται.

Τὸν νοῦν μου φώτισον Δέσποτα, καὶ χείλη μου τά ἔνυλα ἅγνισον, πυρὶ τοῦ ῾Αγίου Πνεύματος, ὅπως ἀνευφημήσω θεοπρεπῶς, Γερμανὸν τὸν θεῖον, τῆς ᾿Αλάσκας φωτιστήν, τὸν ὑπερθαύμαστον.

῾Ορῶν τοῦ βίου τὸ πρόσκαιρον, καὶ κόσμου ματαιότητα Ὅσιε, ὀπίσω Κυρίου ἔδραμες, σχῆμα δὲ μοναζόντων ὑπενδυθείς, ζῆλον προσετίθεις, τῇ ἀγάπῃ τοῦ Θεοῦ, ὑποκαιόμενος.

Δεσπότου βλέπων τὸ ἔλεος, ἡμῖν τὸ καθ᾿ ἑκάστην χεόμενον, ὅλος Γερμανέ ἐξίστασο, ὅθεν φιλανθρωπίαν ἐπιμελῶς, ἤσκησας θεόφρον, ὁμοιοῦσαν τῷ Θεῷ, τὸν ἐργαζόμενον.

Θεοτοκίον

᾿Εν κλίνῃ ὢν κατακείμενος, ἐδὲξω Θεοτόκου ἐπὶσκεψιν, ἥπερ δαψιλῶς ἐπέδειξεν, ὅτι ὑπὸ τὴν σκέπην Αὐτῆς ἀεί, ἕξει σε ἐν πᾶσιν, ὡς Υἱοῦ ἀγαπητοῦ, ἐργάτην δόκιμον.

Καταβασία. Χριστὸς γεννᾶται.

᾿Ωιδὴ γ'. Τῷ πρὸ τῶν αἰώνων.

Γραφῶν ἐντρυφήσει, καὶ ἀσκήσει καθάρας τὸν νοῦν σου σοφέ, ἐν τῇ ἐρήμῳ ὡς στρουθίον, ψαλμικῶς ὑπεχώρεις, Χριστῷ τῷ Θεῷ ἑνούμενος, ταῖς μυστικαῖς θεωρίαις Γερμανέ, καὶ φωτὸς ἐλλάμψεσι.

῎Εχων ἐν καρδίᾳ, σωτηρίας τὸν ζῆλον ψυχῶν ὑπέρ ὧν, Χριστὸς ἀνείληφε τὴν φύσιν, τῶν ἀνθρώπων τρισμάκαρ, ὁδὸν ᾿Αποστόλων μακρὰν ἤνυσας, κομίζων ζωῆς τῆς ἀληθοῦς, θεῖον Εὐαγγέλιον.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥήμασι ζειδώροις, τὴν ψυχήν σου ἐκτρέφων σεπτὲ Γερμανέ, καὶ Ἀλεούτοις μεταγγίζεις, τὸν σωτήριον λόγον, ἐκ σκότους εἰς φῶς ἑλκύων ἄριστα, καὶ τέκνα φωτὸς μεταποιῶν, διὰ τοῦ Βαπτίσματος.

Θεοτοκίον

Ἄνευ τοῦ Κυρίου, τοῦ Ἡλίου τῆς δόξης ματαία ζωή, ἡ τῶν ἀνθρώπων ὄντως ἔστιν, Παναγία Παρθένε, διὸ ἐκ ψυχῆς σε μεγαλύνομεν, ὡς τοῦ Ἡλίου καθέδραν φωτεινήν, σκότη διαλύουσαν.

Καταβασία. Τῷ πρό τῶν αἰώνων.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὡς σέλας χριστόσημον ψυχὰς αὐγάσαν πολλάς, οὐ πρόσκαιρον Ὅσιε, ἀλλ᾽ αἰωνίαν ζωήν, αὐτοῖς χαριζόμενον, πάντες σε εὐφημοῦμεν, Γερμανὲ τῆς Ἀλάσκας, φῶς τοῦ Χριστοῦ αὐγάσαις, καὶ ἡμῶν διανοίαις, πρεσβείαις σου ἁγίαις θεομακάριστε.

Δόξα. Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Παρθένοι προεξάρξατε, τῇ τῆς Παρθένου χαρᾷ, μητέρες αἰνέσατε τὴν προπομπὴν τῆς Μητρός, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Μάγοι σὺν τοῖς ἀγγέλοις, σὺν ὑμῖν καὶ ποιμένες, ἔρχεται γὰρ ἐν πόλει, Βηθλεὲμ τοῦ γεννῆσαι· Αὐτῆς ταῖς ἱκεσίαις, σῶσον ἡμᾶς ὁ Θεός.

Ὠιδὴ δ'. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Στόμα ἠγνισμένον τοῦ Θεοῦ, ἐφάνης Γερμανὲ σοφέ, καὶ σωτηρίας διαπρύσιος, ἐκφάντωρ τὴν τοῦ Χριστοῦ συγκατάβασιν φράζων, ὅθεν συνεγείρων Ἀλεούτους, διδάσκεις αὐτοῖς βοᾶν· δόξα τῇ δυνάμει σου Κύριε.

Δύναμιν λαμβάνων μυστικῶς, ὡς γίγας καθυπέταξας, τοῦ ἀντιπάλου τὴν ἔνστασιν, ἐγείρων τῷ Ἰησοῦ λογικὰς ἑλεπόλεις· ἦλθες τοῦ Σταυροῦ τῇ ἀσοφίᾳ, ζωγρῆσαι ψυχὰς Αὐτῷ, καὶ υἱοὺς ποιῆσαι τοῦ Πνεύματος.

Ἔλλαμψιν φωτὸς τοῦ ἀληθοῦς, συχνῶς Πάτερ δεχόμενος, τὰς σὰς αἰσθήσεις κατεφώτισας, καὶ πνεῦμα εἰρηνικὸν ἐν καρδίᾳ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

κατέχων, πᾶσιν ἐχορήγεις τὴν εἰρήνην, δοξάζουσι τὸν Θεόν, δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον

Χέεις ὑπέρ νοῦν τὰς δωρεάς, τοῖς δούλοις σου Πανύμνητε, καὶ παρ᾽ ἀξίαν σὴν ἀντίληψιν, παρέχεις θεοπρεπῶς μητρικῇ σου πρεσβείᾳ, ὅθεν τῷ Υἱῷ σου φωνοῦμεν, τῷ ζῶντι ἡμῶν Θεῷ, δόξα τῇ δυνάμει σου Κύριε.

Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης

Ὠιδὴ ε'. Θεὸς ὢν εἰρήνης.

Οὐ ψύχος δριμύ σε, κλεινὲ Γερμανέ, οὐ δαιμόνων ἀγρίων αἱ ἔφοδοι, κατίσχυσαν ἀνδρείας σου καὶ ζήλου θεϊκοῦ, ὅθεν ξοάνων πλήθη, κατελέπτυνας πόθῳ, καὶ Σταυροῦ ὑπέταξας, τοὺς Ἀλεούτους κηρύγματι.

Ὑψόθεν λαμβάνων, σαφῶς ἀῤῥωγήν, πειρασμῶν τὰς νιφάδας διέλυες, φυλάττων λειτουργίαν σου ἀσκήσεως καλῶς, κλίνην σανίδα ἔχων, προσκεφάλαιον πλίνθους, καὶ σανὶς ἑτέρα σοι, ὥσπερ ἐφάπλωμα ἐγένετο.

Γρηγόρως φυλάττων, τὴν σὴν φυλακήν, θεωρίᾳ τὴν πρᾶξιν συνέμιξας, χερσί σου ἐργαζόμενος καὶ πᾶσιν ἐπαρκῶν, ὅθεν πατὴρ ἐφάνης, ὀρφανῶν δυστυχούντων, καὶ παίδων ἀλείπτης ἐνθεώτατος, Πάτερ πρὸς τὸν Κύριον.

Θεοτοκίον

Ἐργῶδες Παρθένε, Υἱοῦ σου τυχεῖν, βασιλείας χωρίς ἀντιλήψεως, τῆς σῆς Θεοχαρίτωτε, διὸ δυσωπῶ, μή με στερήσῃς ταύτης, μητρικῇ σου ἀγάπῃ, δωρεὰν παρέχουσα, ἵνα δοξάζω εὐχαρίστως σε.

Καταβασία. Θεὸς ὢν εἰρήνης.

Ὠιδὴ ϛ'. Σπλάγχνων Ἰωνᾶν.

Ῥώννυσι ψυχάς, ἁπλᾶς ὁ Σωτὴρ ἡμῶν, σημείοις φρικτοῖς καὶ θείαις ὄψεσιν, ὅθεν πέτανται, ἐντολῶν τῶν Αὐτοῦ εἰς ἐνέργειαν, ὡς ἔδειξε πολλάκις σοι σεπτὲ Γερμανέ, σκέπων καὶ φρουρῶν ἀγγέλοις σε, ὡς ἀγγέλων τὰ ἴσα νοούμενον.

Μέγιστος ἀγών, ψυχῶν ἐπιμέλεια, ἁρπάσαι αὐτὰς ἐχθροῦ ἐκ φάρυγγος, μεταστῆσαί τε, εἰς ἀέρα Χριστοῦ Πάτερ ὅσιε, διὸ ἁλύσει δέδεσαι βαρείᾳ ἐχθρόν, δέων τὸν ἀεὶ ἀντίθετον, σωτηρίας ἀνθρώπων μακάριε.

Ἄγρυπνον τὸν νοῦν, τηρῶν παμμακάριστε, εὐχῇ συνεχεῖ ἐμπόνῳ νήψει τε, ἔσχες σύνοικον, τὸν Θεὸν καὶ ἁγίους Αὐτοῦ θαυμαστῶς, διὸ καὶ Ἀλεούτους καθωδήγησας, αἴσθησιν εἰς πανενότητος, Ἐκκλησίας σοφὲ ἰσαπόστολε.

Θεοτοκίον

Νόμοι φυσικοί, ἐν σοὶ Παναμμώμητε, ἀργοῦσιν ἀεί, χάριτι γέγονας, ἐργαστήριον, ὑπὲρ φύσιν ἑνώσεως Δέσποινα, ἀνθρώπων καὶ Θεοῦ τῇ ταπεινώσει σου, ἥν περ ὡς ὡραῖον ἔνδυμα, ὁ Υἱός σου φορέσας σεσάρκωται.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τὸν Χριστὸν ἠγάπησας, ἐκ βρέφους Πάτερ γνησίως,
καὶ προθύμως ἄρας σου, σταυρὸν Αὐτῷ συσταυροῦσαι,
κλῆσιν δὲ, ἀποστολῆς δεδεγμένος,
γέγονας, τῶν Ἀλεούτων φωτιστὴς μέγας,
καὶ θαυμάτων ἐνεργείᾳ,
τετιμημένος πάτερ σοφὲ Γερμανέ.

**Ὁ Οἶκος**

Τὴν τοῦ Παύλου ζωὴν ἐκμιμούμενος,
καὶ ἀγάπην αὐτοῦ πρὸς τὸν Κύριον,
ὁλοτρόπως τῷ βίῳ ἐστοίχησας
καὶ ἐκτύπωμα γέγονας Ὅσιε.
Ὅθεν κράζεις ἀεί, σὺν τῇ τούτου μακαρίᾳ φωνῇ·



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τίς σκανδαλίζεται καὶ οὐκ ἐγώ πυροῦμαι;
Τίς ὁ πάσχων καὶ οὐκ ἔχει με συμπάσχοντα;
᾿Αληθῶς ἀποστόλων ἰσότιμος καὶ ᾿Αλάσκας ἐδείχθης τὸ καύχημα.
Τῇ ἀσκήσει συμμείξας τὸ κήρυγμα,
ὡς σοφὸς ἁλιεὺς πλήθη εἵλκυσας εἰς θεογνωσίαν.
Σὺν τούτοις καὶ ἡμεῖς ἀνακράζομεν,
προσκυνοῦντες λειψάνων τὴν θήκην σου·
πρέσβυς φάνηθι ἡμῶν πρὸς Κύριον
θεῖε πάτερ σοφὲ Γερμανέ.

## Τὸ Συναξάριον

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς Γερμανοῦ τοῦ ᾿Ισαποστόλου, πρώτου φωτιστοῦ τῆς ᾿Αλάσκας, τοῦ καὶ θαυματουργοῦ.**

Στίχοι

*῾Ως ὡραῖοί σου πόδες, εἶπεν ἂν ᾿Ησαΐας,*
*Οἱ εὐαγγελισάμενοι ᾿Αλεούτοις Χριστόν, εἰρήνην.*
*Γεράσμιον εἴληφε σήμερον γέρας Γερμανός.*

*καὶ τὸ ὑπόμνημα*

Οὗτος ὁ θεοφόρος πατὴρ ἡμῶν Γερμανός, γόνος μὲν πέφυκε τῆς Ρωσικῆς γῆς. Παιδιόθεν δ᾿ ἐραστὴς τοῦ μοναδικοῦ σχήματος, ἐγένετο μοναχὸς ὑπὸ τὴν πνευματικὴν ποδηγεσίαν τοῦ ὁσίας μνήμης ἀρχιμανδρίτου Ναζαρίου τῆς Μονῆς Βαλάμο. ᾿Αποσυρθεὶς ἐν τῇ δασώδει ἐρήμῳ τῆς περιοχῆς, τοῦ μέλιτος τῆς ἡσυχαστικῆς διατριβῆς οὐχὶ ἐπὶ πολὺν χρόνον ἐνετρύφησεν, ὡς συγκαταριθμηθεὶς τῆς εἰς ᾿Αλάσκαν σταλείσης ἱεραποστολικῆς μοναχικῆς συνοδείας, πρὸς φωτισμὸν τῶν ἐκεῖ ἐζοφωμένων τῇ εἰδωλολατρίᾳ ἰθαγενῶν. Ἔνθα ἐγκατασταθεὶς εἰς ἔρημόν τινα νῆσον τὴν καλουμένην τῶν ᾿Ελάτων- "Σπρούς Ἄϊλαντ"- καὶ ὑπ᾿ αὐτοῦ μετονομασθεῖσαν Νέον Βαλαάμ, βίῳ καὶ θεωρίᾳ, θαυμαστῶς πρὸς τὸ φῶς τοῦ Χριστοῦ προσήγαγε πλήθη ἰθαγενῶν, συνοικισάντων ἐν τῷ μεταξὺ τὴν νῆσον. Πολλοῖς θαύμασι δὲ τιμηθείς ὑπὸ Θεοῦ, μεγίστην ἐπεδείξατο



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τήν τε φιλοθεΐαν καὶ φιλανθρωπίαν, γενόμενος εὐαγγελικὸς κήρυξ, πνευματικὸς ὁδηγός, πατὴρ ὀρφανῶν, ἀσθενούντων ἰατρός, πεπλανημένων ἐπιστροφεύς. Ἀεὶ δὲ τῇ ὑπερβολικῇ ἀσκητικῇ διαγωγῇ χρώμενος καὶ ζηλωτὴς τῆς μοναστικῆς καὶ ἡσυχαστικῆς ζωῆς ὤν, κομῶν ταῖς ποικίλαις ἀρεταῖς τοῦ Ἁγίου Πνεύματος, ἐκοιμήθη ἐν Κυρίῳ τῇ 12ῃ Δεκεμβρίου 1837, τῆς ἀνακομιδῆς τῶν τιμίων αὐτοῦ λειψάνων γενομένης κατὰ τὴν ἡμέραν τῆς ἐπισήμου ἀνακηρύξεως τῆς ἁγιότητος αὐτοῦ, ἤτοι τῇ 9ῃ Αὐγούστου 1970.

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ.

Ταῖς αὐτοῦ καὶ πάντων τῶν Ἁγίων ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠιδὴ ζ'. Οἱ παῖδες εὐσεβείᾳ.

Ἐσβέσθη, τοῦ πυρὸς ἡ μανία, τῇ εὐχῇ σου Ὅσιε καὶ κῦμα ἔστηκεν, εἰκόνα σοῦ κρατοῦντος Θεομήτορος, Ἀλεοῦτοι δὲ φρικτῶς, ὁρῶντες ἔψαλλον· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Τροποῦσαι, τοῦ Σταυροῦ τῇ σφραγίδι, τῶν δαιμόνων φάλαγγας θεομακάριστε, ἐκ πείρας σαφῶς γὰρ Πάτερ ἔμαθες, ὅτι ἥττηνται δεινῶς τοῖς ὅσοις ψάλλουσιν· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ἡ νόσος, πανώλους δείκνυσί σε, φύσεως ἀνώτερον εὐσπλαγχνικώτατε, ὡς μήτηρ γὰρ φιλόστοργος συνέπασχες, ὑποφέρουσι δεινῶς καὶ κράζων ἔλεγες· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον

Σὺ πέλεις Θεονύμφευτε Κόρη, γλυκασμὸς καὶ στήριγμα καὶ ἀγαλλίασις, Υἱόν σου ποθούντων τὸν γλυκύτατον, Ὃς ἐξάγει θαυμαστῶς κινδύνων ψάλλοντας· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Καταβασία. Οἱ παῖδες εὐσεβείᾳ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ᾨδὴ η'. Θαύματος ὑπερφυοῦς.

Ἄγγελοι τὴν σὴν διακονίαν, ἀνταναπλήρουν Πάτερ πανεύφημε, οὐ γὰρ προσεδέξω ἱερωσύνην, ὡς οὐδὲν σαυτὸν λογιζόμενος, ταπείνωσιν δεικνύων ἀεί, διὸ ἐκ βαθέων ἀνεκραύγαζες· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Λύκους τε καὶ ἄρκτους ὡς ἄρνας, ἡ ὀσμή σου ἀπέδειξε Πάτερ, οἶδε γὰρ τιμᾶν καὶ ἡ φύσις, τοὺς συμμόρφους Χριστοῦ ὡς προπάτορα, Ἀδὰμ ἐν παραδείσῳ τὸ πρίν, καὶ λόγοις ἀγλώττοις ψάλλει λέγουσα· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ἅπαντα τὸν βίον διῆλθες, ὡς Ἀπόστολος Χριστοῦ θεοφόρε, ὅθεν ἐν καιρῷ τῆς ἐξόδου, Ἀποστόλων τὰς Πράξεις διέταξας τ÷ˇῶ σ÷ˇ÷ˇῶ μαθητῇ στιχολογεῖν· φωτὶ δὲ περιλαμφθείς ἀῤῥήτῳ ἔψαλλες· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

### Θεοτοκίον

Σκέπασόν με ἄχραντε Μῆτερ, τῶν πτερύγων σου σκέπῃ τῇ θεί÷÷α, ὥσπερ Γερμανὸν τὸν σὸν δοῦλον, διεφύλαττες πάσης δαιμόνων τε, ἀνώτερον δεινῆς προσβολῆς, κἀγὼ δὲ προθύμως τότε ᾄσομαι· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Θαύματος ὑπερφυοῦς.

## ᾨδὴ θ'. Μυστήριον ξένον.

Καιόμενον στύλον, κατεῖδον τρισόλβιε, Ἀλεοῦτοι ἄνωθεν, κέλλης, ἐν τῇ σεπτῇ σου κοιμήσει, καὶ ἕτεροι ὄψιν, λευχείμονα ἄνω τρέχουσαν, πιστούμενοι σήν, πρὸς τὸν Πανάγαθον κατάπαυσιν.

Ἀφθόρως τὸ σκῆνος, Χριστὸς διεφύλαξεν, ὀρφανῶν εἰς ἔκπληξιν, ἅπερ, ὡς τέκνα γνήσια τάφον, ἠνέωξαν Πάτερ, καὶ ἔνδον ὡς σπόρον σε κατέθεντο, Ἀλάσκας τῇ γῇ, Ὀρθοδοξίας καὶ ὡς ζύμην τε.

www.tezaurliturgic.ro


Σὲ Πάτερ δοξάζει, Χριστὸς μετὰ θάνατον, ἰατρὸν οὐράνιον, λύτην, ἀσθενειῶν δείκνυσί τε, χωλὸν ἀνορθοῦντα, παιδὸς δὲ φοβίαν διαλύοντα, καὶ κόρης μικρᾶς, πόνους ἀμέσως καταπαύοντα.

Θεοτοκίον

Ἀχάριστον ὄντα, μακρὰν μὴ ἀπώσῃ με, Θεοτόκε ἄχραντε, ὅτι, ἀπὸ παιδὸς ἁμαρτάνων, Θεὸν παροργίζω, διὸ ἱκετεύω Μῆτερ πρέσβευε, Χριστῷ σῷ Υἱῷ, σὺν Γερμανῷ ὑπὲρ τοῦ δούλου σου.

Καταβασία. Μυστήριον ξένον.

Ἐξαποστειλάριον.
Ἦχος β'. Τοῖς μαθηταῖς συνέλθωμεν.

Ὁ προγινώσκων ἅπαντα, πρὸ γενέσεως Πάτερ, εἰς φῶς ἐθνῶν σε ἔθετο, Γερμανὲ θεοφόρε, ἅλας ζωῆς Ἀλεούτοις, σάλπιγγα σωτηρίας, θαυμάτων τε ἐνέπλησεν, ἐνεργείᾳ ποικίλων, καὶ τοῦ Σταυροῦ, τῇ δυνάμει δαίμονας ἀχρειοῦντα, διὸ ἀνευφημοῦμέν σε, Ἰσαπόστολε νέε.

Ἕτερον. Ἦχος γ'. Φῶς ἀναλλοίωτον.

Τὴν τῶν σεπτῶν λειψάνων σου, ἀσπαζόμενοι θήκην, ὦ Γερμανὲ δοξάζομεν, τὸν σὲ δείξαντα πρῶτον, Ἀπόστολον τῆς ἀληθοῦς, πίστεως ἐν Ἀλάσκᾳ.

Προεόρτιον. Ὅμοιον.

Ὁρῶν συγκαταβάσεως, σῆς τὸ ὕψος Σωτήρ μου, ἐξίσταμαι πῶς ἄνθρωπος, δι᾽ ἐμὲ ἐγεγόνεις, ἐκ τῶν πανάγνων αἱμάτων, Ἀειπαρθένου Μητρός σου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίρει ὁ οὐρανὸς καὶ ἡ γῆ, ἐπὶ τῇ μνήμῃ Γερμανὲ τῇ ἁγίᾳ σου, ἡ γῆ μὲν ὡς σὲ φυεῖσα, καρπὸν δοτὸν τῷ Θεῷ, οὐρανὸς δὲ χαίρει, ὅτι ἔχει σου, ψυχὴν τὴν ἀμόλυντον, καὶ ἀγγέλων ὁμότιμον, ὡς κολληθεῖσαν, τῷ Χριστῷ θείῳ ἔρωτι, καὶ τὸ κήρυγμα, βασιλείας τοῖς ἔθνεσι, ζήλῳ πολλῷ ἐνέγκασαν, μεθ᾽ ὧν συγχορεύοντες, κυκλοῦμεν θήκην τιμίαν, τὴν θησαυρὸν περικλείουσαν, σεπτῶν σου λειψάνων, ἅπερ πίστει προσκυνοῦντες, Θεὸν δοξάζομεν.

Χαίροις ὁ ἐν ὑστέροις καιροῖς, τῶν ᾽Αποστόλων διανύσας τὸν δίαυλον, ἐκ παίδων γὰρ Πάτερ ἔσχες, φιλοψυχίαν πολλήν, δι᾽ ἧς μοναζόντων σχῆμα εἴληφας, πτωχείαν αἱρούμενος, καὶ ἑκούσιον στέρησιν, καὶ τῶν χρημάτων, παντελῆ καταφρόνησιν, ὅθεν μόνος σοι, θησαυρὸς ἐναπείληπτο, θέλημα τοῦ Κυρίου σου, καὶ ἔμπονος ἄσκησις, τῶν ἀρετῶν δι᾽ ἃς Πνεῦμα, ἐπανεπαύσατο ἔνδον σου, καὶ στεῖλαν εἰς ἔθνη, τοῦ ποιοῦντά σε διδάξαι, πίστιν ᾽Ορθόδοξον.

Χαίροις, τοῦ παλαιοῦ Βαλαάμ, θεοχαρίτωτε βλαστὲ καὶ ἀνάστημα, τοῦ νέου δὲ βάσις θεία, θαυματουργὲ οἰκιστά, ἐν ᾧ τῷ Κυρίῳ εὐηρέστησας· δουλῶν γὰρ τὸ σῶμά σου, ἀγωγαῖς αἷς τὸ πνεῦμά σοι, σαφῶς ὡς βίβλῳ, καθαρᾷ ἐνεχάραττεν, ἅλας γέγονας, τῆς ζωῆς παμμακάριστε. Πάντας δὲ κατεφώτισας, Ἡλίου αὐγάσμασι, καὶ ἀστραπαῖς τοῦ ἀδύτου, Τριάδος πίστει ὑπείκοντας, διό σε τιμῶμεν, ἰσαπόστολε Κυρίου, ᾽Αλάσκας καύχημα.

Χαίροις, φιλανθρωπίας κανών, τῶν ὀρφανῶν καὶ ἀδυνάτων ὑπέρμαχος, τῶν παίδων σοφὸς ἀλείπτης, διδασκαλίαις ἁπλαῖς, θείων μυστηρίων τὸ ἀνέκφραστον, σαφῶς διεκφαίνων, καὶ ἑρμηνεύων τὰ ἄπορα, ἐν ἀσθενείαις, ἰατρὸς θεοφώτιστος, ἔργοις Ὅσιε, καταστέφων τὸ κήρυγμα· ὅθεν ἀνευφημοῦντές σε, δεόμεθα δὸς ἡμῖν, ταῖς σαῖς ἁγίαις πρεσβείαις, ὦ Γερμανὲ ζῆλον ἔνθεον, ψυχῶν σωτηρίαν, καὶ ἀγάπην τὴν πρὸς πέλας καὶ τὴν πρὸς Κύριον.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

### Δόξα. Ἦχος πλ. δ'

Ἀισματικῶς εὐφημοῦντές σε, ὦ θεοφόρε πάτερ Γερμανέ, ὡς κραταιὰ ἡ ἀγάπη λέγομεν, ἡ ὄρη τήκουσα καὶ χοῦν πυροῦσα ἐνθέως. Ταύτην γὰρ ἐνδεδυμένος ἀπὸ παιδός, ἐκ τῆς Ρωσίας μετεφυτεύθης ὡς δένδρον πολύκαρπον ζωῆς, εἰς τὴν εἰδωλομανοῦσαν Ἀλάσκαν, καὶ τῇ φλογὶ τοῦ Εὐαγγελίου, ἀνῆψας πῦρ τὸ ζωοποιόν, τὸ τῶν δαιμόνων σκότος διαλῦσαν. Ὅθεν σε, ὡς Ἰχθύος τοῦ ἀληθινοῦ σοφὸν ἁλιέα, καὶ ἀπαρχὴν τῶν ἐν τῷ Νέῳ Κόσμῳ Ἁγίων, τιμῶντες ἱκετεύομεν· στήριξον ὀρθοδοξίᾳ τὴν κληρονομίαν σου, καὶ δὸς ἡμῖν ταῖς πατρικαῖς σου εὐχαῖς, τὴν Χάριν τοῦ Πνεύματος, θεῖε Ἰσαπόστολε.

### Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Ὑπόδεξαι Βηθλεέμ, τὴν τοῦ Θεοῦ μητρόπολιν, φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς, Μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε, Ποιμένες ἀγραυλοῦντες τὸν τρισάγιον ὕμνον μελωδήσατε. Πᾶσα πνοή, αἰνεσάτω τὸν Παντουργέτην.

### Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

### Μεγαλυνάριον

Χαίρεις τῆς Ρωσίας θεῖος βλαστός, καὶ τῶν Ἀλεούτων, Ἰσαπόστολος θαυμαστός, χαίροις Ἐκκλησίας, ὦ Γερμανὲ θεόφρον, καύχησις ἐν Κυρίῳ καὶ ἀγαλλίαμα.

### Στίχοι

*Πένης εἰμί γεραίρων σε, ὦ Γερμανὲ θεόφρον,*
*Εὐχαῖς μοι ἀντιδώρησαι πλουσίαις γενναιόφρον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ